ἐστὶν ἢ τὸ ἥμισυ μέρος τοῦ καθ' ἑαυτὴν τμήματος τοῦ
κώνου· τεμνομένων δὴ τῶν ὑπολειπομένων περιφερει-
ῶν δίχα καὶ ἐπιζευγνυμένων εὐθειῶν καὶ ἀνισταμένων ἐφ' ἑκά-
στου τῶν τριγώνων πυραμίδων τὴν αὐτὴν κορυφὴν
ἐχουσῶν τῷ κώνῳ καὶ τοῦτο ἀεὶ ποιοῦντες, καταλεί-
ψομέν τινα ἀποτμήματα τοῦ κώνου ἅ, ἔσται ἐλάσσονα
τῆς ὑπεροχῆς ἧι ὑπερέχει ὁ ΕΖΗΘΝ κῶνος τοῦ γʹ μέ-
ρους· λελείφθω καὶ ἔστω τὰ ἐπὶ τῶν ΕΟ ΟΖ ΖΠ ΠΗ ΗΡ ΡΘ
ΘΣ ΣΕ· λοιπὴ ἄρα ἡ πυραμὶς ἧς βάσις μέν ἐστι τὸ ΕΟΖ
ΠΗΡΘΣ πολύγωνον, κορυφὴ δὲ τὸ Ν σημεῖον, μείζων ἐστὶ
τοῦ γʹ μέρους· ἀναγεγράφθω καὶ εἰς τὸν ΑΒΓΔ κύκλον τῷ
ΕΟΖΠΗΡΘΣ πολυγώνῳ ὅμοιόν τε καὶ ὁμοίως κείμενον
πολύγωνον τὸ ΑΤΒΥΓΦΔΧ· καὶ ἀνεστάτω ἀπ' αὐτοῦ πυ-
ραμὶς τὴν αὐτὴν κορυφὴν ἔχουσα τῷ κώνῳ· καὶ
τῶν μὲν περιεχόντων τὴν πυραμίδα ἧς βάσις μέν
ἐστι τὸ ΑΤΒΥΓΦΔΧ πολύγωνον, κορυφὴ δὲ τὸ Λ σημεῖ-
ον, ἓν τρίγωνον ἔστω τὸ ΛΒΤ· τῶν δὲ περιεχόντων τὴν
πυραμίδα ἧς βάσις μέν ἐστι τὸ ΕΟΖΠΗΡΘΣ πολύγω-
νον, κορυφὴ δὲ τὸ Ν σημεῖον, ἓν τρίγωνον ἔστω τὸ ΝΖΟ·
καὶ ἐπεζεύχθωσαν αἱ ΚΤ ΜΟ· καὶ ἐπεὶ ὅμοιός ἐστιν ὁ ΑΒΓΔ
κῶνος τῷ ΕΖΗΘ κώνῳ, ἔστιν ἄρα ὡς ἡ ΒΔ πρὸς τὴν
ΖΘ, οὕτως ὁ ΚΛ ἄξων πρὸς τὸν ΜΝ ἄξονα· ὡς δὲ ἡ
ΒΔ πρὸς τὴν ΖΘ, οὕτως ἡ ΒΚ πρὸς τὴν ΖΜ· καὶ ὡς ἄρα
ἡ ΒΚ πρὸς τὴν ΖΜ, οὕτως ἡ ΚΛ πρὸς τὴν ΜΝ· καὶ ἐναλ-
λὰξ ὡς ἡ ΒΚ πρὸς τὴν ΚΛ, οὕτως ἡ ΖΜ πρὸς τὴν ΜΝ.
καὶ περὶ ἴσας γωνίας τὰς ὑπὸ ΒΚΛ ΖΜΝ αἱ πλευραὶ

ἀνάλογόν εἰσιν· ὅμοιον ἄρα ἐστὶ τὸ ΒΚΛ τρίγωνον τῷ
ΖΜΝ τριγώνῳ. πάλιν ἐπεί ἐστιν ὡς ἡ ΒΚ πρὸς τὴν ΚΤ,
οὕτως ἡ ΖΜ πρὸς τὴν ΜΟ· καὶ περὶ ἴσας γωνίας τὰς ὑ-
πὸ ΒΚΤ ΖΜΟ· ἐπειδήπερ ὃ μέρος ἐστὶν ἡ ὑπὸ ΒΚΤ γω-
νία τῶν πρὸς τῷ Κ κέντρῳ τεσσάρων ὀρθῶν, τὸ αὐτὸ
μέρος ἐστὶ καὶ ἡ ὑπὸ ΖΜΟ γωνία τῶν πρὸς τῷ Μ κέντρῳ
τεσσάρων ὀρθῶν· αἱ πλευραὶ ἀνάλογόν εἰσιν· ὅμοιον ἄ-
ρα ἐστὶ τὸ ΒΚΤ τρίγωνον τῷ ΖΜΟ τριγώνῳ. πάλιν
ἐπεὶ ἐδείχθη ὡς ἡ ΒΚ πρὸς ΚΛ, οὕτως ἡ ΖΜ πρὸς τὴν
ΜΝ· ἴση δὲ ἡ μὲν ΒΚ τῇ ΚΤ, ἡ δὲ ΖΜ τῇ ΜΟ· ἔστιν
ἄρα ὡς ἡ ΤΚ πρὸς τὴν ΚΛ, οὕτως ἡ ΟΜ πρὸς τὴν ΜΝ·
καὶ περὶ ἴσας γωνίας τὰς ὑπὸ ΤΚΛ ΟΜΝ· ὀρθαὶ γάρ·
αἱ πλευραὶ ἀνάλογόν εἰσιν· ὅμοιον ἄρα ἐστὶ τὸ ΛΚΤ τρί-
γωνον τῷ ΝΜΟ τριγώνῳ· καὶ ἐπεὶ διὰ τὴν ὁμοιότη-
τα τῶν ΛΚΒ ΝΜΖ τριγώνων ἐστὶν ὡς ἡ ΛΒ πρὸς ΒΚ,
οὕτως ἡ ΝΖ πρὸς ΖΜ· διὰ δὲ τὴν ὁμοιότητα τῶν ΒΚΤ
ΖΜΟ τριγώνων ἐστὶν ὡς ἡ ΚΒ πρὸς τὴν ΒΤ, οὕτως ἡ ΜΖ
πρὸς ΖΟ· δι' ἴσου ἄρα ὡς ἡ ΛΒ πρὸς τὴν ΒΤ, οὕτως
ἡ ΜΖ πρὸς τὴν ΖΟ· πάλιν ἐπεὶ διὰ τὴν ὁμοιότητα τῶν
ΛΤΚ ΝΟΜ τριγώνων ἐστὶν ὡς ἡ ΛΤ πρὸς τὴν ΤΚ, οὕ-
τως ἡ ΝΟ πρὸς τὴν ΟΜ· διὰ δὲ τὴν ὁμοιότητα τῶν ΤΚΒ
ΟΜΖ τριγώνων ἐστὶν ὡς ἡ ΚΤ πρὸς τὴν ΤΒ, οὕτως ἡ
ΜΟ πρὸς τὴν ΟΖ· δι' ἴσου ἄρα ὡς ἡ ΛΤ πρὸς τὴν ΤΒ,
οὕτως ἡ ΝΟ πρὸς τὴν ΟΖ. ἐδείχθη δὲ καὶ ὡς ἡ ΤΒ πρὸς
τὴν ΒΛ οὕτως ἡ ΟΖ πρὸς τὴν ΖΝ· δι' ἴσου ἄρα ὡς ἡ ΤΛ
πρὸς τὴν ΛΒ οὕτως ἡ ΟΝ πρὸς τὴν ΝΖ· τῶν ΛΤΒ ΝΟΖ